ἐλόχευε πόντος ἀφρῶι,
πολεμόκλονόν τ' Ἀθήνην
κορυφῆς ἔδειξεν ὁ Ζεύς,
φοβερὰν θέαν Ὀλύμπωι,
τότε καὶ ῥόδων ἀγητόν
νέον ἔρνος ἤνθισε χθών,
πολυδαίδαλον λόχευμα·
μακάρων θεῶν δ' ὅμοιον
ῥόδον ὡς γένοιτο, νέκταρ
ἐπιτέγξας ἀνέθηλεν
ἀγέρωχον ἐξ ἀκάνθης
φυτὸν ἄμβροτον Λυαῖος.

## 56 (54 B.)

Ὁ τὸν ἐν πόνοις ἀτειρῆ,
νέον ἐν πόθοις ἀταρβῆ,
καλὸν ἐν πότοις χορευτήν
τελέων θεὸς κατῆλθε,
ἁπαλὸν βροτοῖσι φίλτρον,
πόθον ἄστονον κομίζων,
γόνον ἀμπέλου, τὸν οἶνον,
πεπεδημένον ὀπώραις
ἐπὶ κλημάτων φυλάττειν,
ἵν' ὅταν τέμωσι βότρυν
ἄνοσοι μένωσι πάντες,
ἄνοσοι δέμας θεητόν,
ἄνοσοι γλυκύν τε θυμόν
ἐς ἔτους φανέντος ἄλλου.